καὶ ἥλιον ἐνέπλησε τὸ φῶς καὶ τὴν σελήνην,
ὁ παμποικίλοις ἄνθεσι τὴν γῆν κατακοσμήσας fol. 157r.
καὶ τοῖς βουνοῖς καὶ τοῖς φυτοῖς, πηγάς τε καὶ θαλάσσας,
καὶ ποταμοὺς ἐξαγαγὼν ἐκ βάθους τῆς ἀβύσσου,
ὁ πάντα λόγῳ συνιστῶν μὴ δεόμενος ὕλης,
οὔτ' ἐργαλεῖα, οὐ τρυφάς, οὐ χρημάτων δαπάνην,
ὃς πανταχοῦ παρὼν ἐστι καὶ συμπληρῶν τὰ πάντα,
αὐτὸς ἐδημιούργησε τὴν ἐμὴν κτίσιν, ξένε ».

'Ο ξένος. « Καλῶς ἀνταπεκρίθης μοι· λοιπὸν ἔστω σοι χάρις.
ναοὺς ὁρῶ ἐξαίρετους καὶ κάλλη παλατίων,
μέσον δὲ γῆς θαυμάσια λαξεύματα ποικίλα,
ἄνωθεν δὲ καὶ κίονας, τάφους κονιαμένους.
καὶ πῶς ὑπάρχεις ἔρημος πλῆθος λαοῦ μὴ φέρων;
καὶ γὰρ ἂν ἦτον ἄοικος ἡ γῆ τῆς Χαζαρίας,
ἐσὲ καὶ μόνην ἔπρεπε, πάντερπνε, οἰκουμένην ».

'Η πόλις. Κλαύσας δ' ἐκ βάθους τῆς ψυχῆς καὶ στεναγμοῦ καὶ θρήνου,
τοιαῦτά μοι ἀνέπεμψεν ἐκ λυπηρᾶς καρδίας·
« 'Ορῶ σε ξένον καὶ σοφὸν καὶ συνετόν, ἀγχίνουν,
ἐνδεδυμένον ῥάκια, ξενιτείαν ἀσκοῦντα.
χιτῶνα, βλέπω, ἐνδέδυσαι πενθήρη, τεθλιμμένον.
ἂν δὲ εἰπῶ σοι τῶν ἐμῶν πυκνῶν ἀναλωμάτων,
πολέμους καὶ τὰ φόβητρα, μᾶλλον τὰς παρατάξεις,
ὅλοις ἑπτὰ τοῖς ἔτεσιν ἔθνη τά με κυκλοῦντα,
πλήθη τε ἀναρίθμητα 'Αγαρηνῶν φοσσάτα,
καὶ τὰς σφαγὰς καὶ τοὺς παλμοὺς τῶν ἔσω καὶ τῶν ἔξω,
τὰ κοῦρσα καὶ τὰ ἔνεδρα, χρεμετισμοὺς τῶν ἵππων,
ἔσω τὸ πλῆθος τοῦ λαοῦ τῶν στεναγμῶν, τῶν θρήνων,
ἔννατον ἔτος φέροντες, τροφὰς μὴ πορισθέντες, fol. 157v
τῶν δὲ βρεφῶν καὶ γυναικῶν καὶ τοῦ λαοῦ τὸν θρῆνον,
ἐν πικρῶς καθυπέμειναν ἐκ τοῦ λιμοῦ τῆς βίας,
ὡς ὄνους καὶ κυνάρια καὶ τῇ γαλῇ βρωθέντας,
καὶ πῶς λειποψυχήσαντες ἐπρόδωκάν με, ξένε,
ἐμὲ πολλῶν τῶν στεναγμῶν καὶ κωκυτῶν ἐμπλήσω,
ἐσὲ δὲ πάλιν ὀδυρμοῖς καὶ δάκρυσι χορτάσω,
καὶ πρὶν πτωθῇς καὶ χαλεπῶς ἰλιγγιάσῃς, ξένε,
βάδιζε νοῦν ὡς ἔχοντα, δόξαν κυρίῳ πέμπων.
καὶ γὰρ ἐγὼ πεπλήρωμαι πάσης τῆς θρηνῳδίας.
ὅμως εἰς νοῦν ἐπανελθὼν τὸν ποιητὴν δοξάζω,

104 ὃ V. 107 Cfr. v. 51. 109 Cfr. Matth. 25, 27 τάφοις κεκονιαμένοις. 125 ἔννατος V. 126 cfr. v. 113. 128 τῇ γαλή V: fort. dativ. pro accusativo τὴν γαλῆν. 130 κοκκητῶν V.